νάμενον[81] θεραπεύων, λαγὼ βίον ζῶν, καὶ τοῦ κρείττονος ἕρμαιον[82] ὤν. Εἰ δὲ καὶ Φειδίας ἢ Πολύκλειτος[83] γένοιο, καὶ θαυμαστὰ πολλὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι δ' ὅστις τῶν ἰδόντων[84], εἰ νοῦν ἔχοι, εὔξαιτο ἂν σοι ὅμοιος γενέσθαι· οἷος γὰρ ἂν ᾖς, βάναυσος, καὶ χειρώναξ, καὶ ἀποχειροβίωτος[85] νομισθήσῃ.

Ἢν δέ μοι πείθῃ πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα, καὶ πράξεις θαυμαστὰς, καὶ λόγους αὐτῶν ἀπαγγέλλουσα, καὶ πάντων, ὡς εἰπεῖν[86], ἔμπειρον ἀποφαίνουσα· καὶ τὴν ψυχὴν, ὅπερ σοι κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πραότητι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ· ταῦτα γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος[87] ὡς ἀληθῶς κόσμος· λήσει[88] δέ σε οὔτε παλαιὸν οὐδὲν, οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ δέοντα[89] προόψει μετ' ἐμοῦ, καὶ ὅλως, ἅπαντα, ὁπόσα ἐστὶ τά τε θεῖα, τά τε ἀνθρώπινα, οὐκ εἰς μακράν[90] σε διδάξομαι.

Καὶ ὁ νῦν πένης, ὁ τοῦ δεῖνος[91], ὁ βουλευσάμενός τι[92] περὶ ἀγενοῦς οὕτω τέχνης, μετ' ὀλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος καὶ ἐπαινούμενος, καὶ ἐπὶ τοῖς ἀρίϛοις[93] εὐδοκιμῶν, καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος[94], ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος, δείξασα τὴν ἑαυτῆς (πάνυ δὲ λαμπρὰν ἐφόρει)· ἀρχῆς[95] δὲ καὶ προεδρίας ἀξιούμενος· κἄν που ἀποδημῇς, οὐδ' ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνὼς οὐδ' ἀφανὴς ἔσῃ· τοιαῦτά σοι περιθήσω τὰ γνωρίσματα, ὥστε τῶν ὁρώντων ἕκαστος, τὸν πλησίον κινήσας[96], δείξει σε τῷ δακτύλῳ, ΟΥΤΟΣ ΕΚΕΙΝΟΣ λέγων.

Ἂν δέ τι σπουδῆς ἄξιον ᾖ[97], καὶ τοὺς φίλους ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἄν πού τι λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ ἀκούσονται, θαυμάζοντες, καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως[98], καὶ τὸν πατέρα τῆς εὐποτμίας. Ὃ δὲ λέγουσιν, ὡς ἄρα ἀθάνατοι γίγνονταί τινες ἐξ ἀνθρώπων, τοῦτό σοι περιποιήσω. Καὶ γὰρ ἢν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔ ποτε παύσῃ συνὼν τοῖς πεπαιδευμένοις, καὶ προσομιλῶν τοῖς ἀρίϛοις[99]. Ὁρᾷς τὸν Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα ἐγὼ ἡλίκον ἐποίησα[100]; ὁρᾷς τὸν Αἰσχίνην[101], ὃς τυμπανιστρίας υἱὸς ἦν; ἀλλ' ὅμως αὐτὸν δι' ἐμὲ Φίλιππος[102] ἐθεράπευσεν· ὁ δὲ Σωκράτης[103], καὶ αὐτὸς ὑπὸ τῇ Ἑρμογλυφικῇ ταύτῃ τραφεὶς, ἐπειδὴ τάχιστα συνῆκε[104]

---

81) Τὸν εὔγλωττον, τὸν ῥήτορα. 82) Θῦμα. Τὰ ἀνέλπιστα εὑρήματα ὑπετίθεντο δῶρα τοῦ Ἑρμοῦ. 83) Ἴδε 67 καὶ 69. 84) Οὐκ ἔστιν οὐδεὶς τῶν ἰδόντων, ὅστις. 85) Ζῶν ἀπὸ τῶν χειρῶν σου τὸν κόπον. 86) Διὰ νὰ εἰπῶ οὕτω, σχεδόν. 87) Μὴ συγκερασμένος, ἄδολος. 88) Λανθάνω. 89) Ἴσ. μέλλοντα. 90) Εἰς ὄχι μακροῦ χρόνου διάστημα.

91) Δηλ. ἀνθρώπου ἀγνώστου. 92) Ὅστις ἐσκέφθης περὶ ἀγενοῦς τέχνης, δηλ. περὶ τοῦ νὰ δοθῇς εἰς αὐτήν. 93) Εἰς τὰ ἄριστα, εἰς τὰς ἀσχολίας αἱ ὁποῖαι θεωροῦνται ὡς ἄρισται. 94) Θαυμαζόμενος. 95) Ἐξουσίας. 96) Κουντήσας τὸν ἱστάμενον πλησίον του.

97) Ἂν συμβῇ τίποτε σπουδαῖον. 98) Διὰ τὴν δύναμιν τῶν λόγων. 99) Διὰ τῶν συγγραμμάτων του δηλονότι. 100) Τίνος υἱὸν ὄντα, βλέπεις πόσον μέγαν τὸν ἔκαμα! Ὁ ῥήτωρ Δημοσθένης (ἐπὶ Ἀλεξάνδρου) ἦτον υἱὸς μαχαιροποιοῦ. 101) Ὁ ῥήτωρ Αἰσχίνης, σύγχρονος καὶ ἀντίζηλος τοῦ Δημοσθένους, ἦν υἱὸς αὐλητρίας. 102) Φίλιππος ὁ Μακεδὼν κατατρέχων τὸν Δημοσθένην ὑπερασπίζετο τὸν ἀντίπαλόν του. 103) Ὁ πατὴρ τοῦ Σωκράτους Σωφρονίσκος ἦτον λιθοξόος. 104) Συνίημι.